*ἀποθνήσκειν. οἱ γοῦν ἐν Μαραθῶνι παραταξάμενοι τοῖς*
*βαρβάροις τὸν ἐξ ἁπάσης τῆς Ἀσίας στόλον ἐκράτησαν,*
*τοῖς ἰδίοις κινδύνοις κοινὴν ἄδειαν ἅπασι τοῖς Ἕλλησι κτώ-*
*μενοι, οὐκ ἐπὶ τῇ δόξῃ μέγα φρονοῦντες, ἀλλ᾿ ἐπὶ τῷ ταύ-*
*της ἄξια πράττειν, τῶν μὲν Ἑλλήνων προστάτας, τῶν δὲ*
*βαρβάρων δεσπότας ἑαυτοὺς καθιστάντες· οὐ γὰρ λόγῳ*
*τὴν ἀρετὴν ἐπετήδευον, ἀλλ᾿ ἔργῳ πᾶσιν ἐνεδείκνυντο.*
**28** **105** *τοιγαροῦν οὕτως ἦσαν ἄνδρες σπουδαῖοι καὶ κοινῇ καὶ ἰδίᾳ*
*οἱ τότε τὴν πόλιν οἰκοῦντες, ὥστε τοῖς ἀνδρειοτάτοις*
*Λακεδαιμονίοις ἐν τοῖς ἔμπροσθεν χρόνοις πολεμοῦσι*
*πρὸς Μεσσηνίους ἀνεῖλεν ὁ θεός, παρ᾿ ἡμῶν ἡγεμόνα*
*λαβεῖν καὶ νικήσειν τοὺς ἐναντίους. καίτοι εἰ τοῖν ἀφ᾿*
*Ἡρακλέους γεγενημένοιν, οἳ ἀεὶ βασιλεύουσιν ἐν Σπάρτῃ,*
*τοὺς παρ᾿ ἡμῶν ἡγεμόνας ἀμείνους ὁ θεὸς ἔκρινε, πῶς*
**106** *οὐκ ἀνυπέρβλητον χρὴ τὴν ἐκείνων ἀρετὴν νομίζειν; τίς*
*γὰρ οὐκ οἶδε τῶν Ἑλλήνων, ὅτι Τυρταῖον στρατηγὸν ἔλα-*
*βον παρὰ τῆς πόλεως, μεθ᾿ οὗ καὶ τῶν πολεμίων ἐκράτη-*
*σαν, καὶ τὴν περὶ τοὺς νέους ἐπιμέλειαν συνετάξαντο οὐ*
*μόνον εἰς τὸν παρόντα κίνδυνον, ἀλλ᾿ εἰς ἅπαντα τὸν αἰῶνα*
*βουλευσάμενοι καλῶς. κατέλιπεν γὰρ αὐτοῖς ἐλεγεῖα*
**107** *ποιήσας, ὧν ἀκούοντες παιδεύονται πρὸς ἀνδρείαν· καὶ*
*περὶ τοὺς ἄλλους ποιητὰς οὐδένα λόγον ἔχοντες, περὶ τού-*
*του οὕτω σφόδρα ἐσπουδάκασιν, ὥστε νόμον ἔθεντο, ὅταν*
*ἐν τοῖς ὅπλοις ἐξεστρατευμένοι ὦσι, καλεῖν ἐπὶ τὴν τοῦ*